πρᾳότατα· καὶ διδάσκουσι τοὺς κωφολοῦντας πρὸς· καὶ κατὰ τὰς ἀσπίδας τῶν ἐχθρῶν βοῶντα, οἱ παῖδες οἱ διδακτοὶ τοῦ θεοῦ τὸ δαυϊτικὸν ἀναλαβόμενοι ψαλτήριον· καὶ τῶν ᾀσμάτων ἐκ τούτων ἀναλεγόμενοι τὰ κατάλληλα· καὶ τοῦ ἡλίου τῆς δικαιοσύνης ὡς ἀεὶ ἐπιδῆς προσβλέπουσιν ἐντρανῶς· καὶ γνωρίζουσι τοῖς πατράσιν, οὐ βουλομένοις ὀξυδερκεῖν. οὐδ᾿ ἀνακαινιζομένοις, ὡς ἀεὶ τῇ νεότητι· ἀλλὰ βλέπουσι διὰ τὴν τοῦ γράμματος παλαιότητα· ὡσαννὰ φασὶν ὁ ἐρχόμενος βασιλεὺς τοῦ Ἰσραήλ· μονονουδακτυλοδεικτοῦσι τὰ νήπια· κηρύττοντα, ὡς οὗτός ἐστιν ὁ βασιλεὺς τῆς Σιών· ὁ πραῢς ὡς ὁ Ζαχαρίου. ταῦτον γὰρ τὸ ὡσαννὰ τῷ σῶσον δή· ἀλλ᾿ οὐκ ἐπιστρέφονται θαύματα τὰς ἀπορίας τὰς καρδίας ἐπὶ τὰ τέκνα· οὐδὲ γὰρ ἀφῆκαν καὶ ὡς τὰ παιδία ἐγένοντο· διὰ τοῦτο οὐδ᾿ εἰς τὴν ὁμοίωσιν τοῦ Χριστοῦ βασιλείαν εἰσῆλθον· ἀσκοὶ γὰρ ἦσαν παλαιοὶ καὶ σαπροὶ καὶ οὐκ ἔχουσι χωρῆσαι τὸν οἶνον τῆς χάριτος· ὡς καινοὶ καὶ χωρητικοὶ τοῦ πνεύματος· φεῦ τῆς πωρώσεως· ἔγνω φησὶ βοῦς τὸν κτησάμενον· καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δὲ τὸν αὐτοῦ βασιλέα οὐκ ἔγνωκεν· ἀλλ᾿ ἠλέγχθη καὶ βοὸς ἀνοητότερος καὶ ὄνου ἀμαθέστερος· πρὸς τὸ γνῶναι τὸν δεσπότην ἴδιον· ὑπὸ ταῦτα τῶν νηπίων, οὐ βοῶν ἐπὶ γλώττης φερόντων· ἀλλὰ κηρυττόντων τὸν βασιλέα τὸν ἐποχούμενον πώλῳ ὀναρίῳ καὶ πομπεύοντα σήμερον· καὶ πληρώσαντα τὸ πάλαι προφητευόμενον· τὸ δεσμεῦσαι δηλονότι πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ· ὅ ἐστι δεσμῶσαι πρὸς τὴν ἐξ Αἰγύπτου μετενεχθεῖσαν ἄμπελον, τὸν νέον λαὸν τὸν ἐξ ἐθνῶν· ὃν οὔπω τις ὑπὸ ζυγὸν ἤγαγεν· ἀλλὰ γνῶμεν τὴν τοῦ μυστηρίου θαυμάτων τὴν δύναμιν· μᾶλλον δὲ ἐν ἡμῖν αὐτοῖς τὰ τῆς ἑορτῆς ἐνδειξώμεθα θαύματα· γενώμεθα λάζαροι φιλούμενοι τῷ Χριστῷ· ἀδελφὰς ἡμῶν αὐτοῖς τὴν σοφίαν καὶ ἀρετὴν ποιησώμεθα· καὶ ἀπό τε ὡσανεὶ ἀσθενήσομεν ἢ καὶ εἰς θάνατον ἀφυπνώσομεν·